eul_wid: bls-ab

*Ἀκουσίλαος ὁ Ἀργεῖος* · Acusilaus of Argos

# Testimonies 2

*Μαρτυρίαι Β'*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

1 DIOG. I 41 [s. c. 10, 1] ἔνιοι προστιθέασιν Ἀκουσίλαον Κάβα ἢ Σκάβρα Ἀργεῖον. (42) Ἕρμιππος δ' ἐν τῶι Περὶ τῶν σοφῶν [fr. 8 FHG III 37] ἑπτακαίδεκά φησιν ... εἶναι δὲ Σόλωνα, Θαλῆν, Πιττακόν, Βίαντα, Χίλωνα, 〈Μύσωνα〉, Κλεόβουλον, Περίανδρον, Ἀνάχαρσιν, Ἀκουσίλαον, Ἐπιμενίδην [3 A], Λεώφαντον, Φερεκύδην [7 A 2a] κτλ.

2 SUID. Ἀ. Κάβα υἱὸς Ἀργεῖος, ἀπὸ Κερκάδος πόλεως οὔσης Αὐλίδος πλησίον, ἱστορικὸς πρεσβύτατος. ἔγραψε δὲ Γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ.

3 —Ἑκαταῖος ... πρῶτος δὲ ἱστορίαν πεζῶς ἐξήνεγκε, συγγραφὴν δὲ Φερεκύδης· τὰ γὰρ Ἀκουσιλάου νοθεύεται.

4 CLEM. Strom VI 26 (II 443, 2 St.) τὰ δὲ Ἡσιόδου μετήλλαξαν εἰς πεζὸν λόγον καὶ ὡς ἴδια ἐξήνεγκαν Εὔμηλός [FHG II 20] τε καὶ Ἀ. οἱ ἱστοριογράφοι.

5 SUID. Σαβῖνος σοφιστὴς γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος· ἔγραψεν ... Εἰς Θουκυδίδην καὶ Ἀκουσίλαον καὶ ἄλλους ὑπομνήματα καὶ ἕτερά τινα ἐξηγητικά.